μησεν θυσιαστήριον κατέναντι αὐτοῦ, καὶ ἐκήρυξεν Ααρων λέγων
6 Ἑορτὴ τοῦ κυρίου αὔριον. [6]καὶ ὀρθρίσας τῇ ἐπαύριον ἀνεβίβασεν
ὁλοκαυτώματα καὶ προσήνεγκεν θυσίαν σωτηρίου, καὶ ἐκάθισεν ὁ
λαὸς φαγεῖν καὶ πιεῖν καὶ ἀνέστησαν παίζειν.
7 [7]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων Βάδιζε τὸ τάχος
ἐντεῦθεν κατάβηθι· ἠνόμησεν γὰρ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ
8 γῆς Αἰγύπτου· [8]παρέβησαν ταχὺ ἐκ τῆς ὁδοῦ, ἧς ἐνετείλω αὐτοῖς·
ἐποίησαν ἑαυτοῖς μόσχον καὶ προσκεκυνήκασιν αὐτῷ καὶ τεθύκα-
σιν αὐτῷ καὶ εἶπαν Οὗτοι οἱ θεοί σου, Ισραηλ, οἵτινες ἀνεβίβα-
10 σάν σε ἐκ γῆς Αἰγύπτου. [10]καὶ νῦν ἔασόν με καὶ θυμωθεὶς ὀργῇ
11 εἰς αὐτοὺς ἐκτρίψω αὐτοὺς καὶ ποιήσω σὲ εἰς ἔθνος μέγα. [11]καὶ
ἐδεήθη Μωυσῆς ἔναντι κυρίου τοῦ θεοῦ καὶ εἶπεν Ἵνα τί, κύριε,
θυμοῖ ὀργῇ εἰς τὸν λαόν σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ἐν
12 ἰσχύι μεγάλῃ καὶ ἐν τῷ βραχίονί σου τῷ ὑψηλῷ; [12]μήποτε εἴπω-
σιν οἱ Αἰγύπτιοι λέγοντες Μετὰ πονηρίας ἐξήγαγεν αὐτοὺς ἀπο-
κτεῖναι ἐν τοῖς ὄρεσιν καὶ ἐξαναλῶσαι αὐτοὺς ἀπὸ τῆς γῆς. παῦ-
σαι τῆς ὀργῆς τοῦ θυμοῦ σου καὶ ἵλεως γενοῦ ἐπὶ τῇ κακίᾳ τοῦ
13 λαοῦ σου [13]μνησθεὶς Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ τῶν σῶν οἰ-
κετῶν, οἷς ὤμοσας κατὰ σεαυτοῦ καὶ ἐλάλησας πρὸς αὐτοὺς λέ-
γων Πολυπληθυνῶ τὸ σπέρμα ὑμῶν ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ
τῷ πλήθει, καὶ πᾶσαν τὴν γῆν ταύτην, ἣν εἶπας δοῦναι τῷ σπέρ-
14 ματι αὐτῶν, καὶ καθέξουσιν αὐτὴν εἰς τὸν αἰῶνα. [14]καὶ ἱλάσθη
κύριος περὶ τῆς κακίας, ἧς εἶπεν ποιῆσαι τὸν λαὸν αὐτοῦ.
15 [15]Καὶ ἀποστρέψας Μωυσῆς κατέβη ἀπὸ τοῦ ὄρους, καὶ αἱ δύο
πλάκες τοῦ μαρτυρίου ἐν ταῖς χερσὶν αὐτοῦ, πλάκες λίθιναι κατα-
γεγραμμέναι ἐξ ἀμφοτέρων τῶν μερῶν αὐτῶν, ἔνθεν καὶ ἔνθεν
16 ἦσαν γεγραμμέναι· [16]καὶ αἱ πλάκες ἔργον θεοῦ ἦσαν, καὶ ἡ γρα-
17 φὴ γραφὴ θεοῦ ἐστιν κεκολαμμένη ἐν ταῖς πλαξίν. [17]καὶ ἀκούσας
Ἰησοῦς τὴν φωνὴν τοῦ λαοῦ κραζόντων λέγει πρὸς Μωυσῆν
18 Φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ. [18]καὶ λέγει Οὐκ ἔστιν φωνὴ
ἐξαρχόντων κατ᾽ ἰσχὺν οὐδὲ φωνὴ ἐξαρχόντων τροπῆς, ἀλλὰ φω-
19 νὴν ἐξαρχόντων οἴνου ἐγὼ ἀκούω. [19]καὶ ἡνίκα ἤγγιζεν τῇ παρεμ-
βολῇ, ὁρᾷ τὸν μόσχον καὶ τοὺς χορούς, καὶ ὀργισθεὶς θυμῷ Μωυ-
σῆς ἔρριψεν ἀπὸ τῶν χειρῶν αὐτοῦ τὰς δύο πλάκας καὶ συνέ-
20 τριψεν αὐτὰς ὑπὸ τὸ ὄρος. [20]καὶ λαβὼν τὸν μόσχον, ὃν ἐποίη-
σαν, κατέκαυσεν αὐτὸν ἐν πυρὶ καὶ κατήλεσεν αὐτὸν λεπτὸν καὶ

5 του > A || 7 το ταχ. εντ. / καταβ.] tr. A | ους] ον B || 8 και $2^0 \frown 3^0$ B || 11 κατεναντι A | κυριου > A† | θεου] + αυτου A | τω $1^0$ et σου τω > A || 13 ωμοσας] + αυτοις A | τω σπερμ. αυτων] αυτοις B† || 14 περι — ποιησαι] περιποιησαι B† || 15 καταγεγραμμεναι] κατα > A || 16 εστιν > B† || 17 της φωνης B*† || 19 και ην. ηγγ.] ηνικα δε ηγγισεν A || 20 αυτον εν > A | κατηλασεν A | αυτον $2^0$] > A†, in *O* sub ÷